


Google



THUCYDIDIS
DE
BELLO PELOPONNESIACO
LIBRI OCTO.

AD
OPTIMORUM LIBRORUM FIDEM EDITOS
EXPLANAVIT
ERNESTUS FRIDERICUS POPPO.

EDITIO ALTERA, QUAM AUXIT ET EMENDAVIT
IOANNES MATTHIAS STAHL.

VOL. III. SECT. I.



LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXIX.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO

IOANNIS MATTHIAE STAHLII.

Serius quam volebam mihi contigit, ut quod susceperam retractandae huius editionis munus persequerer. Post quadriennium igitur ad id reversus consilio non mutato institutam rationem tenui scriptoris interpretandi et ubi opus esset pro virili parte emendandi. Quanquam enim nuper fuit qui praematuram hanc omnem emendandi Thucydidis operam iudicaret, quod accurata demum quae nondum parata esset eius recensione emendatio niti posset, non ab omni quidem parte infructuosum fore puto, si quis potiores Thucydidis libros manu scriptos denuo perscrutatus sit, sed hac opera futurum esse ut aliud emendationi fundamentum constituatur confidenter nego. Nam Bekker minutias quidem orthographicas vel manifesta calami vitia ad unum omnia non ea cura enotavit, quae hodie plerisque necessaria videtur; sed, si orthographica praetermittis, eas scripturas, quarum ad cognoscenda et eruenda ipsius scriptoris verba ratio aliqua habenda esset, tam accurate enotavit, ut in paucissimis et levissimis tantum aliquid ab illo praetermissum aut erratum sit. Quae talia invenientur, eorum ad emendandum Thucydidem aut nullus usus erit aut valde exiguus. Rectam autem scribendi rationem codicum memoria plerumque non tam demonstrat quam aliunde cognitam confirmat. Maxime adhuc desideratur plena atque exacta libri Laurentiani collatio, sed cum ei similis sit et satis notus Monacensis 228, ne ex hac quidem quicquam proditurum esse credo quo aliam atque nunc emendandi viam sequi cogamur.

Cum interpretis vero munere emendandi studium necessitate quadam coniunctum est, si quidem ratione ac via usus interpretationem ad sententiarum cohaerentiam, sermonis leges rerumque veritatem componere debet. Cui necessitati cum mihi quoque parendum esset, imprimis haud neglectis aliorum iudiciis ea diligenter examinavi,

quae in editione Tauchnitziana statueram, et ubi priorem sententiam causis, non opinionibus improbatam vidi, libenter mutavi. Sedulo enim cavere volui, ne mihi mea magis placerent, quod mea quam quod vera essent.

Quod ad libros attinet, ad quos in rebus explicandis eos qui plura cuperent et Poppo et ego delegavimus, nunc tertia usus sum Schoemanni Antiquitatum Graecarum editione, quarum antea prima adhibita est, itemque quartae Historiae Graecae ab Ernesto Curtio conscriptae; Hermanni Antiquitatum antea usus eram quam ipse paravit editione eaque primi voluminis postrema, nunc novissimam a Baehrio et Starkio curatam consului.

Postremo hic liceat aliquot errores in l. IV eiusque commentariis a typothetis commissos, quae me, cum plagulas corrigerem, aliis negotiis occupatum et amicorum officio atque auxilio destitutum effugerunt, breviter notare.

In Thucydidis verbis lege:

12, 3	*ἀμύνεσθαι*	pro	*ἀνύνεσθαι*
29, 2	*Δημοσθένη*	„	*Λημοσθένη*
29, 3	*ἀπροσδοκήτως*	„	*ἀπροδοκήτως*
32, 3	*διακοσίους*	„	*διακασίους*
32, 3	*ἀπορία*	„	*ἀπορίᾳ*
33, 1	*Ἐπιτάδαν*	„	*Ἐλπιτάδαν*
63, 2	*τύχοιμεν*	„	*τύχομεν*
102, 4	*τοῦ*	. „	*τοὺ*,

in adnotationibus

p. 34 col. dextr. v. 23 prout pro ut

p. 204 „ sinistr. v. 17 quin „ quia;

praeterea p. 169 col. sinistr. v. 11 uno praeter hunc loco (V 69, 1) pro hoc uno loco et p. 187 col. sinistr. v. 26. 27 esse pro fore scribere debebam.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ Ε.

4) *Μαντινῆς πρῶτοι τοῖς Ἀργείοις προσχωροῦσι. τότε δὲ καὶ ἡ ἄλλη Πελοπόννησος διαθορυβεῖται καὶ πρὸς τούτους ῥέπει. κθ'.*

5) *Λακεδαιμόνιοι Κορινθίοις ἄλλως παρακελεύονται ἐσιέναι ἐς τὰς τῶν Ἀθηναίων σπονδάς. λ'.*

6) *Καὶ μὴν Ἠλεῖοι Λακεδαιμονίοις περὶ Λεπρέου διαφερόμενοι Ἀργείων γίγνονται ξύμμαχοι. τούτοις δὲ ἕπονται Κορίνθιοι καὶ Χαλκιδῆς. λα'.*

7) *Ἀθηναῖοι Σκιώνην μὲν αἱροῦσι, Δηλίους δὲ κατάγουσι. πόλεμος Λοκρῶν καὶ Φωκέων. λβ'. § α'. β'.*

8) *Κορίνθιοι οὔτε Τεγεάτας οὔτε Βοιωτοὺς οἷοί τέ εἰσιν ἐς τὴν Ἀργείων ξυμμαχίαν ἐσάγειν. λβ'. § γ'—θ'.*

9) *Λακεδαιμονίων στρατεία ἐς Παρρασίους, οὓς ἐλευθεροῦσι. λγ'.*

10) *Τρόπος ὃν οἱ Λακεδαιμόνιοι τούς τε μετὰ Βρασίδου Εἵλωτας μαχεσαμένους καὶ τοὺς ἐκ Σφακτηρίας αἰχμαλώτους διατιθέασι. λδ'.*

11) *Θυσσὸς αἱρεῖται. λε'. § α'.*

12) *Ὑποψίαι καὶ διαφοραὶ Ἀθηναίων καὶ Λακεδαιμονίων. διαμένει γε μέντοι ἡ ἡσυχία, καὶ οἱ ἐκ Πύλου Εἵλωτες ἐξάγονται. λε'. § β'—η'.*

B. *Χειμών. Κεφ. λϛ'—λθ'.*

1) *Κλεόβουλος καὶ Ξενάρης πειρῶνται τὰς σπονδὰς τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων διαλῦσαι. λϛ'—λη'.*

2) *Μηκύβερνα αἱρεῖται. λθ'. § α'.*

3) *Λακεδαιμόνιοι Βοιωτοῖς ξυμμαχίαν ἰδίαν ποιοῦνται, καὶ Πάνακτον καθαιρεῖται. λθ'. § β'. γ'.*

XII. *Δωδέκατον ἔτος τοῦ πολέμου. Κεφ. μ'—να'.*

A. *Θέρος. Κεφ. μ'—ν'.*

1) *Ἀργεῖοι καὶ Λακεδαιμόνιοι ἐς λόγους ξυνέρχονται. μ'. μα'.*

2) *Ἀθηναῖοι τῇ Πανάκτου καθαιρέσει καὶ τῇ ἰδίᾳ Λακεδαιμονίων καὶ Βοιωτῶν ξυμμαχίᾳ ἀγανακτοῦσιν. μβ'.*

3) *Ὑπὸ Ἀλκιβιάδου πεισθέντες Ἀθηναῖοι Ἀργείοις καὶ τοῖς τούτων ξυμμάχοις Μαντινεῦσι καὶ Ἠλείοις ξυμμαχίαν ποιοῦνται. μγ'—μζ'.*

Ἡ ξυμμαχία αὐτή. μζ'.

4) *Αἱ τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων σπονδαὶ ἔτι διαμένουσιν. οἱ Κορίνθιοι πρὸς ἐκείνους πάλιν τὴν γνώμην ἔχουσι. μη'.*

5) *Λακεδαιμονίους Ἠλεῖοι τοῦ ἐν Ὀλυμπίᾳ ἱεροῦ εἴργουσιν. ἀμφιλογίαι αὐτῶν περὶ καταδίκης. Λίχας. μθ'. ν'. § α'—δ'.*

6) *Κορινθίοις λόγοι προσφέρονται. ν'. § ε'.*

B. *Χειμών. Κεφ. να'.*

Ἡρακλεῶται οἱ ἐν Τραχῖνι ἡσσῶνται Αἰνιάνων καὶ ἄλλων προσχώρων. να'.

XIII. *Τρίτον καὶ δέκατον ἔτος τοῦ πολέμου. Κεφ. νβ'—νϛ'.*

A. *Θέρος. Κεφ. νβ'—νε'.*

1) *Ἡράκλειαν Βοιωτοὶ παραλαμβάνουσιν. νβ'.* § α'.

2) *Ἀλκιβιάδης ἐς Πελοπόννησον στρατεύσας τείχη οἰκοδομεῖ. νβ'.* § β'.

3) *Πόλεμος Ἐπιδαυρίων καὶ Ἀργείων. νγ'—νε'.*

B. *Χειμών. Κεφ. νϛ'.*

Λακεδαιμονίων φρουροὺς ἐς Ἐπίδαυρον ἐσπεμψάντων Ἀθηναῖοι τοὺς Εἵλωτας ἐς Πύλον ἀνακομίζουσιν. Ἐπιδαύρου Ἀργεῖοι ἀποπειρῶσι.

XIV. *Τέταρτον καὶ δέκατον ἔτος τοῦ πολέμου. Κεφ. νζ'—πα'.*

A. *Θέρος. Κεφ. νζ'—οε'. Πόλεμος Ἀργείων καὶ Λακεδαιμονίων.*

1) *Πρώτη στρατεία Λακεδαιμονίων Ἄγιδος ἡγουμένου ἐπὶ Ἄργος. τετράμηνοι σπονδαί. νζ'—ξ'.*

2) *Αἱ σπονδαὶ λύονται. Ἀργεῖοι καὶ οἱ ξύμμαχοι Ὀρχομενὸν μὲν αἱροῦσι, παρασκευάζονται δὲ καὶ ὡς ἐπὶ Τεγέαν. ξα'. ξβ'.*

3) *Δευτέρα στρατεία Ἄγιδος ἐπὶ Ἄργος. ξγ'—οε'.*

α) *Πορεῖαι καὶ ἀντιστρατοπεδεύσεις ἑκατέρων. ξγ'—ξε'.*

β) *Μάχη μεγίστη μεταξὺ Μαντινείας καὶ Τεγέας, ἐν ᾗ ἡσσῶνται Ἀργεῖοι καὶ οἱ ξύμμαχοι. ξϛ'—οδ'.*

γ) *Λακεδαιμόνιοι οὐ χρῶνται τῇ νίκῃ. Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ἄρχονται Ἐπίδαυρον τειχίζειν. οε'.*

B. *Χειμών. Κεφ. οϛ'—πα'.*

1) *Σπονδαὶ καὶ ξυμμαχία γίγνονται Λακεδαιμονίων καὶ Ἀργείων. οϛ'—οθ'.*

Αἱ σπονδαὶ αὗται. οζ'.

Ἡ ξυμμαχία αὐτή. οθ'.

2) *Ἀθηναῖοι κελεύονται τῆς Πελοποννήσου ἐξελθεῖν. Περδίκκας καὶ οἱ Χαλκιδῆς ξυνομνύασι Λακεδαιμονίοις καὶ Ἀργείοις. Δημοσθένους δόλος. Ἐπιδαυρίοις τὸ τείχισμα ἀποδίδοται. π'.*

3) *Μαντινῆς ξυμβαίνουσι Λακεδαιμονίοις. ἐν Σικυῶνι καὶ ἐν Ἄργει ὀλιγαρχία καθίσταται. πα'.*

XV. *Πέμπτον καὶ δέκατον ἔτος τοῦ πολέμου. Κεφ. πβ'. πγ'.*

A. *Θέρος. πβ'.*

1) *Περὶ Διέων καὶ Ἀχαΐας.* § α'.

2) *Ἀργείων ὁ δῆμος τῶν ὀλίγων, οἷς οἱ Λακεδαιμόνιοι μέλλουσι βοηθεῖν, ἐπικρατεῖ καὶ Ἀθηναίοις πάλιν σπεισάμενος μακρὰ τείχη τειχίζει.* § β'—ϛ'.

B. *Χειμών.* πγ'.

1) *Λακεδαιμονίων στρατεία, ἐν ᾗ τὰ Ἀργείων τείχη καὶ Ὑσιὰς λαμβάνουσιν.* § α'. β'.

2) *Ἀργείων στρατεία ἐς τὴν Φλειασίαν.* § γ'.

3) *Περδίκκας κατακλῄεται.* § δ'.

XVI. *Ἕκτον καὶ δέκατον ἔτος τοῦ πολέμου. Κεφ.* πδ'—*Βιβλ.* Ζ. *κεφ.* ζ'.

A. *Θέρος. Κεφ.* πδ'—ριε'.

1) *Μηλίων πολιορκία.* πδ'—ριδ'.

Διάλογος Μηλίων καὶ Ἀθηναίων. πε'—ριγ'.

2) *Ἀργείων δευτέρα ἐσβολὴ ἐς τὴν Φλειασίαν. Ἀθηναίων καὶ Λακεδαιμονίων λῃστεῖαι. πόλεμος Κορινθίων καὶ Ἀθηναίων.* ριε'. § α'—γ'.

3) *Μηλίων ἐπέξοδος.* § δ'.

B. *Χειμών. Κεφ.* ρις'—*Βιβλ.* Ζ. *κεφ.* ζ'.

1) *Λακεδαιμόνιοι μέλλουσιν ἐς τὴν Ἀργείαν στρατεύειν.* ρις'. § α'.

2) *Μηλίων μετὰ δευτέραν ἐπέξοδον ἅλωσις καὶ ὠμοτάτη τιμωρία.* § β'—δ'.

ΘΟΥΚΥΔΙΔΟΥ

ΞΥΓΓΡΑΦΗΣ Ε.

---

1. *Τοῦ δ' ἐπιγιγνομένου θέρους αἱ μὲν ἐνιαύσιοι σπονδαὶ διελέλυντο μέχρι Πυθίων. καὶ ἐν*

Ἐκεχειρία γίγνεται, ἐν ᾗ Ἀθηναῖοι Δηλίους ἀνέστησαν.

Cap. 1. **αἱ μὲν ... Πυθίων** antehac sic explicaverunt: indutiae annuae solutae erant (et bellum renovatum est) usque ad Pythia, i. e. usquedum Pythia novas indutias novamque belli cessationem effecerunt. Sed hanc interpretationem, quam primus improbavit Mueller-Struebing. Aristoph. p. 387 sqq., reiciendam esse apparet. Nam temere addita sunt verba et bellum renovatum est, quoniam, cum non semper et ubique indutiarum exitum continuo bellum sequatur (nempe possunt etiam finitis indutiis aliquantum temporis arma quiescere), nulla eius supplementi est necessitas. Neque haec erat feriarum Pythicarum vis, ut earum tempore omne bellum prorsus intermitteretur, sed propter eas pacabatur Delphica tantum terra et tutus commeatus ludos adeuntibus dabatur. Cf. quae de Olympiis exponit Schoemann. Antiqu. Gr. II p. 46 sq. Potest autem ipsum **διελέλυντο** ita cum verbis **μέχρι Πυθίων** iungi, ut sana sententia evadat. Cum enim plusquamperfectum rei statum significet, **αἱ ἐνιαύσιοι σπονδαὶ διελέλυντο μέχρι Πυθίων** idem valet quod **τῶν ἐνιαυσίων σπονδῶν διάλυσις ἦν μέχρι Πυθίων** pariter atque IV 16, 2 **ἐσπεῖσθαι αὐτὰς μέχρι οὗ ἐπανέλθωσιν** nihil aliud est quam **εἶναι δὲ τὰς σπονδὰς μέχρι οὗ ἐπανέλθωσιν.** Est autem **διάλυσις τῶν σπονδῶν** is rerum status, quo foedus exiit necdum bellum renovatum est, qui medius inter bellum et pacem status deinde **ἐκεχειρία** dicitur. Huic autem tempori, per quod post indutias armorum quies erat, 2, 1 belli initium ita opponitur, ut liberius post interpositam narrationem **καὶ ἐν τῇ ἐκεχειρίᾳ ... ὥρμητο** verborum collocatio instituatur. Accuratius enim ad **αἱ μὲν ἐνιαύσιοι σπονδαὶ διελέλυντο μέχρι Πυθίων** referretur **μετὰ δὲ τὴν ἐκεχειρίαν Κλέων ... ἐξέπλευσε.** „Pythia tertio cuiusque Olympiadis anno facta esse non solum perspicuo Pausaniae (X 7, 3) testimonio demonstratur, sed quaecunque Pythiorum ludicra peracta in historia commemorantur, in tertium cuiusque Olympiadis annum ... incidisse inveniuntur.“ Arn. Cuius rei locupletissimus testis praeter Clintonem (Fast.

τῇ ἐκεχειρίᾳ οἱ Ἀθηναῖοι Δηλίους ἀνέστησαν ἐκ Δήλου, ἡγησάμενοι κατὰ παλαιάν τινα αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι, καὶ ἅμα ἐλλιπὲς σφίσιν εἶναι τοῦτο τῆς καθάρσεως, ᾗ πρότερόν μοι δεδήλωται ὡς ἀνελόντες τὰς θήκας τῶν τεθνεώτων ὀρθῶς ἐνόμισαν ποιῆσαι. καὶ οἱ μὲν Δήλιοι Ἀτραμύττειον Φαρνάκου δόντος αὐτοῖς ἐν τῇ Ἀσίᾳ ᾤκησαν οὕτως ὡς ἕκαστος ὥρμητο.

Κλέων στρατεύει ἐς τὰ ἐπὶ Θρᾴκης

2. Κλέων δὲ Ἀθηναίους πείσας ἐς τὰ ἐπὶ Θρᾴ- 1
κης χωρία ἐξέπλευσε μετὰ τὴν ἐκεχειρίαν, Ἀθηναίων

Cap. 1. οἱ ante Ἀθηναῖοι habet Vat. Ἀτραμύττιον It. E. Vind. K. m. Ar. Chr. Dan. Bekk. In C. D. I. Ἀτραμύτιον. Vulgo Ἀτραμύττειον. Bas. Ἀτραμύτειον. Pal. Ἀδραμύντειον vel Ἀδραμύττειον. Ἀτραμύττειον] Ὥρου· Ἀδραμύττειον Εὔπολις, Ἀτραμύττειον Θουκυδίδης. Schol. Cf. etiam Suid. Phav. Adramytteum Liv. XXXVII 19, Adramytteos Plin. V 32, 122. In nummis Ἀδραμύτιον (Eckhel. Doctr. num. II p. 448). Cf. praeterea de variis nominis formis Steph. Byz. s. v.

Hell. I p. 209 ed. Krueg.) est Boeckhius ad Pind. II 2 p. 206 sqq. et Inscr. I p. 814. Quo autem anni tempore commissa essent postquam diu inter viros doctos dissensio fuit, Delphorum mensem Bucatium, quo ea celebrata esse ex Corp. inscr. n. 1688 discimus, cum Atheniensium mense Metagitnione convenire Kirchhoffius in Relat. menstr. acad. Berol. 1864 p. 129 sqq. demonstravit. Itaque cum annuae indutiae Elaphebolionis die XIV finitae essent (cf. IV 118, 12), quinque fere mensium spatio illa διάλυσις τῶν σπονδῶν sive ἐκεχειρία continebatur. — οἱ Ἀθηναῖοι ... ἀνέστησαν. De re vid. Diod. XII 73 et Paus. IV 27, 5, de verbo II 27, 1. adn. IV 54, 3. — κατὰ παλαιὰν ... οὐ καθαροὺς ὄντας. Piaculi enim crimine polluti erant, quod mortuos in sacra insula sepeliverant. Vid. III 104. — ἱερῶσθαι, deo consecratos esse. — τοῦτο τῆς καθάρσεως, hoc genus purgationis. — ᾗ. „Casus pendet ex participio et ad ποιῆσαι supplendum αὐτήν. Cf. Krueg. ad Dion. p. 119.“ Goell. Add. adn. I 1, 2. Praeter necessitatem Reisk. ἥν, Benedict. et Dobr. ᾗ coniecerunt. — πρότερον. Vid. I 8 et III 104. — Ἀτραμύττειον. De nomine cf. sd., de urbe ipsa Strab. p. 613 sq. et Prokesch. It. per As. et Aegypt. III p. 282 sq. — Φαρνάκου. Cf. VIII 6. 58. — ᾤκησαν, sedes collocaverunt. De re cf. VIII 108, 4. — ὡς ἕκαστος ὥρμητο, ut quisque cupiebat. Cf. adn. II 59, 2. IV 48, 6. 74, 1. Frustra Meinek. in Herm. III p. 367 ὤργητο. Significatur Delios non colonorum more et legibus cunctos una profectos Atramyttii consedisse, sed singulos ut cuique libuisset.

Cap. 2. Cf. Diod. XII 73. — § 1. μετὰ τὴν ἐκεχειρίαν, post exactam armorum quietem. Cf. adn. III 68, 1. Itaque mense Augusto ineunte. Cf. adn. c. 1. — Ἀθηναίων cet. Lectos fuisse milites videbimus 8, 2.

μὲν ὁπλίτας ἔχων διακοσίους καὶ χιλίους καὶ ἱππέας τριακοσίους, τῶν δὲ ξυμμάχων πλείους, ναῦς
2 δὲ τριάκοντα. σχὼν δὲ ἐς Σκιώνην πρῶτον ἔτι πολιορκουμένην καὶ προσλαβὼν αὐτόθεν ὁπλίτας τῶν φρουρῶν, κατέπλευσεν ἐς τὸν Κωφὸν λιμένα, τῶν Τορωναίων ἀπέχοντα οὐ πολὺ τῆς πόλεως.
3 ἐκ δ' αὐτοῦ, αἰσθόμενος ὑπ' αὐτομόλων ὅτι οὔτε Βρασίδας ἐν τῇ Τορώνῃ οὔτε οἱ ἐνόντες ἀξιόμαχοι εἶεν, τῇ μὲν στρατιᾷ τῇ πεζῇ ἐχώρει ἐς τὴν πόλιν, ναῦς δὲ περιέπεμψε δέκα ⟨ἐς⟩ τὸν λιμένα
4 περιπλεῖν. καὶ πρὸς τὸ περιτείχισμα πρῶτον ἀφικνεῖται ὃ προσπεριέβαλε τῇ πόλει ὁ Βρασίδας, ἐντὸς βουλόμενος ποιῆσαι τὸ προάστειον, καὶ διελὼν τοῦ παλαιοῦ τείχους μίαν αὐτὴν ἐποίησε πόλιν.

καὶ Τορώνῃ Βρασίδου ἀπόντος προσβάλλει

Cap. 2. § 2. *Κολοφωνίων* codd. Cf. adn.
§ 3. *οὔτε Βρασίδας* Bekk. ex Popponis coniectura. Vulgo male *οὐδὲ Βρ.*
ἐς interposuit Bekk. Naves enim non, ut portum Torones, sed ut promunturium inter Cophum portum et illum interiacens circumveherentur, missae sunt. Quo facto in illum pervenerunt. Vide 3, 1 atque cf. *περιπλεῦσαι ἐς τὸν λιμένα* III 81, 2 et ibi adn.

§ 2. *ἔτι πολιορκουμένην.* Respicitur ad IV 131. 132. 133, 4. — *ἐς τὸν Κωφὸν λιμένα.* Colophoniorum portus, quem codd. habent, hic nullus potest fuisse. Diversum esse quem hic Th. memoravit portum a portu Torones inde colligitur, quod postea decem naves ex illo in hunc circumnavigaverunt. Quare ab aliquot editoribus falso post *Τορωναίων* distinctum est. *Κωφῶν* coniecit Leakius Graec. sept. III p. 119, quia hodie esset portus Kufó (*Κωφός*) inter Derrhim promunturium (nunc Drepanon) et Toronen. Sed is portus a Strab. p. 331, fragm. 32 et Mel. II 3, 1 non *Κωφῶν*, sed *Κωφὸς λιμήν* dicitur, quem ipsum scriptori hoc loco reddidit Pluygersius in Cobeti Nov. lect. p. 381.

§ 3. *αἰσθόμενος ὑπ' αὐτομόλων.* „*Ἀπ' αὐτομόλων?*" Krueg. *Ὑπό* defenditur verbis Soph. Ai. 1320 *οὐ γὰρ κλύοντές ἐσμεν αἰσχίστους λόγους, ἄναξ Ὀδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως*; (cf. Matth. Gr. § 373, 3), etsi ibi *κλύειν* non est certiorem fieri, ut hic *αἰσθάνεσθαι.* Cf. adn. I 8, 2. 130, 1.

§ 4. *προσπεριέβαλε τῇ πόλει...*] *βουλόμενος ἐντὸς τοῦ τείχους ποιῆσαι τὸ τῶν Τορωναίων προάστειον, τοῦ παλαιοῦ τείχους μέρος διακόψας, καθ' ὃ ἦν τὸ προάστειον, ἕτερον τεῖχος καινὸν προσῳκοδόμησεν, ᾧ περιέβαλε τὸ πρότερον, καὶ συνῆψε κατὰ τὴν διαίρεσιν [τὸ καινὸν] πρὸς τὸ παλαιόν, ὥστε ἓν τὸ πᾶν γενέσθαι.* Schol. — *διελὼν τοῦ παλαιοῦ τείχους,* rescissa veteris muri parte. Cf. adn. II 75, 6. Totum membrum *καὶ . . ἐποίησε πόλιν* priori *ὃ προσπεριέβαλε τῇ*

Ἡ Τορώνη ἁλίσκεται. τὰ τοῖς ἐμφρουροῦσι ξυμβάντα. αἱρεῖται καὶ Πάνακτον.

3. Βοηθήσαντες δὲ ἐς αὐτὸ Πασιτελίδας τε ὁ Λακεδαιμόνιος ἄρχων καὶ ἡ παροῦσα φυλακὴ προσβαλόντων τῶν Ἀθηναίων ἠμύνοντο. καὶ ὡς ἐβιάζοντο καὶ αἱ νῆες ἅμα περιέπλεον ⟨αἱ⟩ ἐς τὸν λιμένα περιπεμφθεῖσαι, δείσας ὁ Πασιτελίδας μὴ αἵ τε νῆες φθάσωσι λαβοῦσαι ἐρῆμον τὴν πόλιν καὶ τοῦ τειχίσματος ἁλισκομένου ἐγκαταληφθῇ, ἀπολιπὼν αὐτὸ δρόμῳ ἐχώρει ἐς τὴν πόλιν. 1
2 οἱ δὲ Ἀθηναῖοι φθάνουσιν οἵ τε ἀπὸ τῶν νεῶν ἑλόντες τὴν Τορώνην καὶ ὁ πεζὸς ἐπισπόμενος αὐτοβοεὶ κατὰ τὸ διῃρημένον τείχους τοῦ παλαιοῦ ξυνεσπεσών. καὶ τοὺς μὲν ἀπέκτειναν τῶν Πελοποννησίων καὶ Τορωναίων εὐθὺς ἐν χερσί, τοὺς δὲ ζῶντας ἔλαβον καὶ Πασιτελίδαν τὸν ἄρχοντα.
3 Βρασίδας δὲ ἐβοήθει μὲν τῇ Τορώνῃ, αἰσθόμενος δὲ καθ' ὁδὸν ἑαλωκυῖαν ἀνεχώρησεν, ἀποσχὼν τεσσαράκοντα μάλιστα σταδίους μὴ φθάσαι ἐλθών.
4 ὁ δὲ Κλέων καὶ οἱ Ἀθηναῖοι τροπαῖά τε ἔστησαν δύο, τὸ μὲν κατὰ τὸν λιμένα, τὸ δὲ πρὸς τῷ τειχίσματι, καὶ τῶν Τορωναίων γυναῖκας μὲν καὶ παῖδας ἠνδραπόδισαν, αὐτοὺς δὲ καὶ Πελοποννησίους καὶ εἴ τις ἄλλος Χαλκιδέων ἦν, ξύμπαν-

πόλει ex aequo adiunctum est, quanquam ad relativum ὅ non item refertur. Cf. 5, 1. adn. VI 11, 1.

Cap. 3. § 1. αὐτό, τὸ περιτείχισμα. — Πασιτελίδας. Cf. IV 132, 3. — αἱ recte addidit Haack., cum verbis quae sequuntur accuratius definiantur decem naves modo (2, 3) memoratae. — τοῦ τειχίσματος, i. e. τοῦ περιτειχίσματος, τοῦ καινοῦ τείχους. Deinde ἐγκαταληφθῇ est ἐν αὐτῷ καταληφθῇ.

§ 2. αὐτοβοεί cum ἐπισπόμενος verbo iungit Goeller, quod minus recte fieri videri, cum αὐτοβοεί non esset simpliciter illico, sed primo clamore atque impetu (cf. adn. II 81, 4), respondimus in ed. mai. suppl. Add. Krueg. in Comment. antiqu. stud. a. 1842 p. 106, qui hac voce rem celeriter effectam (*ein schnell erlangtes Ergebnisz*) exprimi docet. Ipse igitur Krueger cum superiore ἑλόντες, quod mente repeti vult, necti iubet. Sed ne transpositio verborum durior oriatur, nescio an Haackius rectius αὐτοβοεί cum ξυνεσπεσών participio iunxerit.

§ 3. ἐβοήθει de consilio et conatu opitulandi dictum esse perspicuum est. Cf. adn. I 134, 1. Frustra ἐπεβοήθει Meinek. in Herm. III p. 368. — ἀποσχὼν . . . ἐλθών, cum . . . stadia afuisset, quo minus adventu suo praeveniret urbis occupationem.

§ 4. ἠνδραπόδισαν. Cf. Diod. XII 73. — ξύμπαντας.

τας ἐς ἑπτακοσίους, ἀπέπεμψαν ἐς τὰς Ἀθήνας·
καὶ αὐτοῖς τὸ μὲν Πελοποννήσιον ὕστερον ἐν ταῖς
γενομέναις σπονδαῖς ἀπῆλθε, τὸ δὲ ἄλλο ἐκο-
μίσθη ὑπ' Ὀλυνθίων, ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς.
5 εἷλον δὲ καὶ Πάνακτον Ἀθηναίων ἐν μεθορίοις
τεῖχος Βοιωτοὶ ὑπὸ τὸν αὐτὸν χρόνον προδοσίᾳ.
6 καὶ ὁ μὲν Κλέων φυλακὴν καταστησάμενος τῆς
Τορώνης ἄρας περιέπλει τὸν Ἄθων ὡς ἐπὶ τὴν
Ἀμφίπολιν.

1 4. Φαίαξ δὲ ὁ Ἐρασιστράτου τρίτος αὐτὸς
Ἀθηναίων πεμπόντων ναυσὶ δύο ἐς Ἰταλίαν καὶ
Σικελίαν πρεσβευτὴς ὑπὸ τὸν αὐτὸν χρόνον ἐξ-
2 έπλευσε. Λεοντῖνοι γὰρ ἀπελθόντων Ἀθηναίων
ἐκ Σικελίας μετὰ τὴν ξύμβασιν πολίτας τε ἐπ-
εγράψαντο πολλοὺς καὶ ὁ δῆμος τὴν γῆν ἐπενόει
3 ἀναδάσασθαι. οἱ δὲ δυνατοὶ αἰσθόμενοι Συρα-

στάσεις τῶ Λεοντίνων οὓς Φαίαξ πέμπεται π ριποιήσων τῶ δὲ ἐν Γ λᾳ οὐ προ χωροῦντος τοῦ πράγμα τος πάλιν ἀποπλεῖ.

Cap. 3. § 6. περιέπλει. Aug. Cl. Ven. (Pal.?) Vat. H. G. K. M. περιπλεῖ, quod vix aptum est; nam ad haec c. 6 referuntur verba ὁ δὲ Κλέων ὡς ... περιέπλευσεν ἐπὶ τὴν Ἀμφίπολιν, atque imperfecto res incohata significatur, aoristo c. 6 perfecta. Cf. adn. II 25, 4.

De articulo non addito cf. adn. IV 129, 3. — αὐτοῖς. „Hoc exemplo norma usus dativi [commodi et incommodi atque ethici] explanandi III 98, 1 proposita insigni modo illustratur. Sine αὐτοῖς hoc enuntiato simpliciter, quid captivis factum sit, exponeretur; cum illo factum ad Athenienses refertur, ita ut haec fere sit sententia: eos postea amiserunt, alteros pace, alteros ..." Arn. — τὸ Πελοποννήσιον, i. e. οἱ Πελοποννήσιοι. Cf. Bernh. Synt. p. 431 et adn. II 45, 1. — ἐν ταῖς ... σπονδαῖς. Vid. 18, 7. — ἀνὴρ ... λυθείς. Similiter II 103, 1. De syntaxi cf. Krueg. Gr. § 56, 9 adn. 1.

§ 5. Πάνακτον. Thucydidi neutrum esse adnotant veteres lexicographi. Cf. 39, 3. Situm si distinctius quam ex verbis Thucydidis cognoscere cupis, cf. Leak. Graec. sept. II p. 370 et de Pag. Attic. p. 131 ed. Westerm.

§ 6. καὶ ὁ μέν cet. Cf. Diod. l. d. — περιέπλει. Cf. adn. crit. — ὡς ... Ἀμφίπολιν, ut Amphipolim peteret, Amphipolim versus.

Cap. 4. § 1. Φαίαξ. De hoc vid. Aristoph. Equ. 1377. Plut. Nic. c. 13 et Alcib. c. 13.

§ 2. ἀπελθόντων ... ξύμβασιν. Vid. IV 65, unde τὴν ξύμβασιν apparet esse „τὴν κοινὴν τῶν Σικελιωτῶν" (schol.). — πολίτας ἐπεγράψαντο] ... ἑτέρους ἐπὶ τοῖς οὖσιν ἐνεγράψαντο εἰς τὴν πολιτείαν. Schol. Similiter Latini dicunt adscribere in civitatem, civitati. — καὶ ὁ δῆμος ... ἀναδάσασθαι. „Ita, cum Cyrenis novos cives pristinis adscribi opus esset, coloni ex omnibus partibus Graeciae invitati sunt

Ἡ Τορώνη ἁλίσκεται. τὰ τοῖς ἐμφρουροῦσι ξυμβάντα. αἱρεῖται καὶ Πάνακτον.

3. Βοηθήσαντες δὲ ἐς αὐτὸ Πασιτελίδας τε ὁ Λακεδαιμόνιος ἄρχων καὶ ἡ παροῦσα φυλακὴ προσβαλόντων τῶν Ἀθηναίων ἠμύνοντο. καὶ ὡς ἐβιάζοντο καὶ αἱ νῆες ἅμα περιέπλεον ⟨αἱ⟩ ἐς τὸν λιμένα περιπεμφθεῖσαι, δείσας ὁ Πασιτελίδας μὴ αἵ τε νῆες φθάσωσι λαβοῦσαι ἐρῆμον τὴν πόλιν καὶ τοῦ τειχίσματος ἁλισκομένου ἐγκαταληφθῇ, ἀπολιπὼν αὐτὸ δρόμῳ ἐχώρει ἐς τὴν πόλιν. 1
οἱ δὲ Ἀθηναῖοι φθάνουσιν οἵ τε ἀπὸ τῶν νεῶν ἑλόντες τὴν Τορώνην καὶ ὁ πεζὸς ἐπισπόμενος αὐτοβοεὶ κατὰ τὸ διῃρημένον τεῖχους τοῦ παλαιοῦ ξυνεσπεσών. καὶ τοὺς μὲν ἀπέκτειναν τῶν Πελοποννησίων καὶ Τορωναίων εὐθὺς ἐν χερσί, τοὺς δὲ ζῶντας ἔλαβον καὶ Πασιτελίδαν τὸν ἄρχοντα. 2
Βρασίδας δὲ ἐβοήθει μὲν τῇ Τορώνῃ, αἰσθόμενος δὲ καθ' ὁδὸν ἑαλωκυῖαν ἀνεχώρησεν, ἀποσχὼν τεσσαράκοντα μάλιστα σταδίους μὴ φθάσαι ἐλθών. 3
ὁ δὲ Κλέων καὶ οἱ Ἀθηναῖοι τροπαῖά τε ἔστησαν δύο, τὸ μὲν κατὰ τὸν λιμένα, τὸ δὲ πρὸς τῷ τειχίσματι, καὶ τῶν Τορωναίων γυναῖκας μὲν καὶ παῖδας ἠνδραπόδισαν, αὐτοὺς δὲ καὶ Πελοποννησίους καὶ εἴ τις ἄλλος Χαλκιδέων ἦν, ξύμπαν- 4

πόλει ex aequo adiunctum est, quanqnam ad relativum ὅ non item refertur. Cf. 5, 1. adn. VI 11, 1.

Cap. 3. § 1. αὐτό, τὸ περιτείχισμα. — Πασιτελίδας. Cf. IV 132, 3. — αἱ recte addidit Haack., cum verbis quae sequuntur accuratius definiantur decem naves modo (2, 3) memoratae. — τοῦ τειχίσματος, i. e. τοῦ περιτειχίσματος, τοῦ καινοῦ τείχους. Deinde ἐγκαταληφθῇ est ἐν αὐτῷ καταληφθῇ.

§ 2. αὐτοβοεί cum ἐπισπόμενος verbo iungit Goeller, quod minus recte fieri videri, cum αὐτοβοεί non esset simpliciter illico, sed primo clamore atque impetu (cf. adn. II 81, 4), respondimus in ed. mai. suppl. Add. Krueg. in Comment. antiqu. stud. a. 1842 p. 106, qui hac voce rem celeriter effectam (*ein schnell erlangtes Ergebnisz*) exprimi docet. Ipse igitur Krueger cum superiore ἑλόντες, quod mente repeti vult, necti iubet. Sed ne transpositio verborum durior oriatur, nescio an Haackius rectius αὐτοβοεί cum ξυνεσπεσών participio iunxerit.

§ 3. ἐβοήθει de consilio et conatu opitulandi dictum esse perspicuum est. Cf. adn. I 134, 1. Frustra ἐπεβοήθει Meinek. in Herm. III p. 368. — ἀποσχὼν . . . ἐλθών, cum . . . stadia afuisset, quo minus adventu suo praeveniret urbis occupationem.

§ 4. ἠνδραπόδισαν. Cf. Diod. XII 73. — ξύμπαντας.

τας ἐς ἑπτακοσίους, ἀπέπεμψαν ἐς τὰς Ἀθήνας· καὶ αὐτοῖς τὸ μὲν Πελοποννήσιον ὕστερον ἐν ταῖς γενομέναις σπονδαῖς ἀπῆλθε, τὸ δὲ ἄλλο ἐκομίσθη ὑπ' Ὀλυνθίων, ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς.
5 εἷλον δὲ καὶ Πάνακτον Ἀθηναίων ἐν μεθορίοις τεῖχος Βοιωτοὶ ὑπὸ τὸν αὐτὸν χρόνον προδοσίᾳ.
6 καὶ ὁ μὲν Κλέων φυλακὴν καταστησάμενος τῆς Τορώνης ἄρας περιέπλει τὸν Ἄθων ὡς ἐπὶ τὴν Ἀμφίπολιν.

1 4. Φαίαξ δὲ ὁ Ἐρασιστράτου τρίτος αὐτὸς Ἀθηναίων πεμπόντων ναυσὶ δύο ἐς Ἰταλίαν καὶ Σικελίαν πρεσβευτὴς ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέπλευσε.
2 Λεοντῖνοι γὰρ ἀπελθόντων Ἀθηναίων ἐκ Σικελίας μετὰ τὴν ξύμβασιν πολίτας τε ἐπεγράψαντο πολλοὺς καὶ ὁ δῆμος τὴν γῆν ἐπενόει
3 ἀναδάσασθαι. οἱ δὲ δυνατοὶ αἰσθόμενοι Συρα-

στάσεις τῶν Λεοντίνων, οὓς Φαίαξ πέμπεται περιποιήσων· τῷ δὲ ἐν Γελᾳ οὐ προχωροῦντος τοῦ πράγματος πάλιν ἀποπλεῖ.

Cap. 3. § 6. περιέπλει. Aug. Cl. Ven. (Pal.?) Vat. H. G. K. M. περιπλεῖ, quod vix aptum est; nam ad haec c. 6 referuntur verba ὁ δὲ Κλέων ὡς ... περιέπλευσεν ἐπὶ τὴν Ἀμφίπολιν, atque imperfecto res incohata significatur, aoristo c. 6 perfecta. Cf. adn. II 25, 4.

De articulo non addito cf. adn. IV 129, 3. — αὐτοῖς. „Hoc exemplo norma usus dativi [commodi et incommodi atque ethici] explanandi III 98, 1 proposita insigni modo illustratur. Sine αὐτοῖς hoc enuntiato simpliciter, quid captivis factum sit, exponeretur; cum illo factum ad Athenienses refertur, ita ut haec fere sit sententia: eos postea amiserunt, alteros pace, alteros ..." Arn. — τὸ Πελοποννήσιον, i. e. οἱ Πελοποννήσιοι. Cf. Bernh. Synt. p. 431 et adn. II 45, 1. — ἐν ταῖς ... σπονδαῖς. Vid. 18, 7. — ἀνὴρ ... λυθείς. Similiter II 103, 1. De syntaxi cf. Krueg. Gr. § 56, 9 adn. 1.

§ 5. Πάνακτον. Thucydidi neutrum esse adnotant veteres lexicographi. Cf. 39, 3. Situm si distinctius quam ex verbis Thucydidis cognoscere cupis, cf. Leak. Graec. sept. II p. 370 et de Pag. Attic. p. 131 ed. Westerm.

§ 6. καὶ ὁ μέν cet. Cf. Diod. l. d. — περιέπλει. Cf. adn. crit. — ὡς ... Ἀμφίπολιν, ut Amphipolim peteret, Amphipolim versus.

Cap. 4. § 1. Φαίαξ. De hoc vid. Aristoph. Equ. 1377. Plut. Nic. c. 13 et Alcib. c. 13.

§ 2. ἀπελθόντων ... ξύμβασιν. Vid. IV 65, unde τὴν ξύμβασιν apparet esse „τὴν κοινὴν τῶν Σικελιωτῶν" (schol.). — πολίτας ἐπεγράψαντο] ... ἑτέρους ἐπὶ τοῖς οὖσιν ἐνεγράψαντο εἰς τὴν πολιτείαν. Schol. Similiter Latini dicunt adscribere in civitatem, civitati. — καὶ ὁ δῆμος ... ἀναδάσασθαι. „Ita, cum Cyrenis novos cives pristinis adscribi opus esset, coloni ex omnibus partibus Graeciae invitati sunt

κοσίους τε ἐπάγονται καὶ ἐκβάλλουσι τὸν δῆμον.
καὶ οἱ μὲν ἐπλανήθησαν ὡς ἕκαστοι· οἱ δὲ δυνα-
τοὶ ὁμολογήσαντες Συρακοσίοις καὶ τὴν πόλιν ἐκ-
λιπόντες καὶ ἐρημώσαντες Συρακούσας ἐπὶ πολι-
τείᾳ ᾤκησαν. καὶ ὕστερον πάλιν αὐτῶν τινες διὰ 4
τὸ μὴ ἀρέσκεσθαι ἀπολιπόντες ἐκ τῶν Συρακου-
σῶν Φωκαίας τε, τῆς πόλεώς τι τῆς Λεοντίνων
χωρίον καλούμενον, καταλαμβάνουσι καὶ Βρικιν-
νίας, ὅν ἔρυμα ἐν τῇ Λεοντίνῃ. καὶ τῶν τοῦ δή-
μου τότε ἐκπεσόντων οἱ πολλοὶ ἦλθον ὡς αὐτούς,
καὶ καταστάντες ἐκ τῶν τειχῶν ἐπολέμουν. ἃ πυν- 5

Cap. 4. § 3. Συρακούσας. „Urbem Συρακούσσας vocant antiquissimi codd., nec tamen sibi constant." Bekk. ad III 86. Eandem nominis scripturam agnoscit Herodian. II p. 2. Sed iam in marmore Pario (Boeckh. Corp. inscr. Gr. n. 2374) Συρακούσαις (l. 52) Συρακουσῶν (l. 71. 77).

§ 4. Φωκαίας. Utrum in paenultima ε melius sit an αι, nos ignoramus. Ven. Φωκεάς, Φωκέας Pal. Aug. m. M. Φωκέας] οἱ μὲν ἐκτεταμένως ἀναγιγνώσκουσιν, ὡς Πρασίας, οἱ δὲ συνεσταλμένως. Schol.

ἐπὶ γῆς ἀναδασμῷ Herodot. IV 159." Arn., qui de agro publico viritim dividendo intellegendum esse praeterea docet.

§ 3. ὡς ἕκαστοι. Cf. adn. I 3, 4. — ἐκλιπόντες καὶ ex interpretamento ortum esse falso suspicatur Meinek. in Herm. III p. 368. Nam Th. post nobilium emigrationem (ἐκλιπόντες) nullos iam relictos esse incolas (ἐρημώσαντες) declarat. — Σ. ἐπὶ πολιτείᾳ ᾤκησαν, Syracusis ea condicione ut cives fierent (adn. III 114, 3) sedes collocaverunt (adn. V 1).

§ 4. αὐτῶν τινες. Reliqui quando in patriam redierint, disces e Xen. Hist. Gr. II 3, 5. — ἀρέσκεσθαι, acquiescere, contentum esse, sine complemento iterum 37, 4 legitur, id quod Bloomfieldii causa adnotandum est. — ἀπολιπόντες ἐκ τῶν Σ. Cf. adn. 80, 3. III 10, 2. — τῆς πόλεως . . . χωρίον καλούμενον. Cum ἡ πόλις ἡ Λεοντίνων a τῇ Λεοντίνῃ distinguatur, χωρίον in urbe ipsa quaerendum eiusque locus (cf. adn. I 63, 1. III 97, 2) et fortasse regio (*ein Viertel*) existimanda est. Fallitur igitur Mannert. Geogr. IX 2 p. 301. — Βρικιννίας, castellum prope Leontinos. Cf. Holm. Hist. Sic. II p. 9. — ὅν. Cf. Bernh. Synt. p. 337. Krueg. Gr. § 63, 6. — τότε respicit ad § 3. Cf. adn. III 69, 1. — καταστάντες . . . ἐπολέμουν. „Phrasis καταστάντες ἐπολέμουν hic fortassis non aliam significationem habet quam II 1 καταστάντες τε ξυνεχῶς ἐπολέμουν." Duk. At ibi ex superioribus ἄρχεται πόλεμος ἐν ᾧ facile repetas ἐς αὐτόν. „Hic sign. cum ibi constitissent, *Posto gefasst hatten.* [Ita Bloomf.] Unde enim sumptum repetas vel suppleas ἐς τὸν πόλεμον? Et vero hoc iam antea factum erat." Bau. Cf. adn. I 59, 2. — ἐκ τῶν τειχῶν, ex munimentis. — ἐπολέμουν] πρὸς τοὺς Συρακουσίους. Schol.

θανόμενοι οἱ Ἀθηναῖοι τὸν Φαίακα πέμπουσιν,
εἴ πως πείσαντες τοὺς σφίσιν ὄντας αὐτόθι ξυμ-
μάχους καὶ τοὺς ἄλλους, ἢν δύνωνται, Σικελιώ-
τας κοινῇ, ὡς Συρακοσίων δύναμιν περιποιουμέ-
νων, ἐπιστρατεῦσαι, διασώσειαν τὸν δῆμον τῶν
6 Λεοντίνων. ὁ δὲ Φαίαξ ἀφικόμενος τοὺς μὲν Κα-
μαριναίους πείθει καὶ Ἀκραγαντίνους, ἐν δὲ Γέλᾳ
ἀντιστάντος αὐτῷ τοῦ πράγματος οὐκέτι ἐπὶ τοὺς
ἄλλους ἔρχεται, αἰσθόμενος οὐκ ἂν πείθειν αὐ-
τούς, ἀλλ᾽ ἀναχωρήσας διὰ τῶν Σικελῶν ἐς Κα-
τάνην καὶ ἅμα ἐν τῇ παρόδῳ καὶ ἐς τὰς Βρικιν-
νίας ἐλθὼν καὶ παραθαρσύνας ἀπέπλει.

1 5. Ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν Σικελίαν
καὶ πάλιν ἀναχωρήσει καὶ ἐν τῇ Ἰταλίᾳ τισὶ πόλε-
σιν ἐχρημάτισε περὶ φιλίας τοῖς Ἀθηναίοις, καὶ
Λοκρῶν ἐντυγχάνει τοῖς ἐκ Μεσσήνης ἐποίκοις ἐκ-
πεπτωκόσιν, οἳ μετὰ τὴν Σικελιωτῶν ὁμολογίαν
στασιασάντων Μεσσηνίων καὶ ἐπαγαγομένων τῶν
ἑτέρων Λοκροὺς ἔποικοι ἐξεπέμφθησαν, καὶ ἐγέ-
2 νετο Μεσσήνη Λοκρῶν τινα χρόνον. τούτοις οὖν
ὁ Φαίαξ ἐντυχὼν [τοῖς κομιζομένοις] οὐκ ἠδίκη-

ἐν δὲ τῇ παρακομιδῇ Λοκροῖς ἐντυχών, οὓς δι᾽ ὁμολογίαν γεγενημένην οὐκ ἀδικεῖ, πάλιν ἐς Ἀθήνας ἀφικνεῖται.

Cap. 5. § 1. Σικελιωτῶν. Vulgo et Bekk. τῶν Σικελιωτῶν, sed τῶν om. Cass. Aug. Cl. Ven. T. Pal. H. F. Gr. Lugd. Laur. M. alii. Cfr. I 93, 8 μετὰ τὴν Μήδων ἀναχώρησιν, IV 109, 1 μετὰ τὴν Ἀμφιπόλεως ἅλωσιν et ed. mai. adn. ad. I 12.

§ 2. [τοῖς κομιζομένοις]. Aug. corr. προσκομιζομένοις.

§ 5. τοὺς ... ξυμμάχους. Urbes Chalcidicas et Camarinaeos, id quod e III 86 al. notum est. — τοὺς ἄλλους, e quibus paulo post Agrigentini et Gelenses nominantur. — ὡς ... περιποιουμένων, causa ab Atheniensibus prolata. Cf. adn. IV 123, 4.

§ 6. ἀντιστάντος αὐτῷ τοῦ πράγματος, cum ei res non successisset. Cf. 38, 4. ἀντιστατοῦντος τοῦ πράγματος Procop. p. 129. 200. — αἰσθόμενος ... πείθειν. Cf. Matth. Gr. §. 549 adn. 2. Krueg. Gr. § 56, 7 adn. 9. infra VI 59, 3. — διὰ τῶν Σικελῶν. Terrestri igitur itinere. Simul tamen naves quoque Catanam misisse existimandus est.

Cap. 5. § 1. ἐχρημάτισε] λόγους προσήνεγκε. Schol. Cf. adn. I 87, 5 et V 61, 1. — φιλίας τοῖς Ἀθηναίοις. Cf. Krueg. Gr. § 48, 12 adn. 4 et adn. I 73, 1. — Λοκρῶν, τῶν Ἐπιζεφυρίων. — ἐποίκοις. Cf. adn. II 27, 1. De verborum τοῖς ... ἐκπεπτωκόσιν collocatione cf. adn. I 90, 1. — ὁμολογίαν, ξύμβασιν 4, 2, ubi vid. — καὶ ἐγένετο. Cf. adn. 2, 4.

§ 2. [τοῖς κομιζομένοις]

σεν· ἐγεγένητο γὰρ τοῖς Λοκροῖς πρὸς αὐτὸν ὁμο-
λογία ξυμβάσεως πέρι πρὸς τοὺς Ἀθηναίους. μόνοι
γὰρ τῶν ξυμμάχων, ὅτε Σικελιῶται ξυνηλλάσσοντο,
οὐκ ἐσπείσαντο Ἀθηναίοις, οὐδ᾽ ἂν τότε, εἰ μὴ 3
αὐτοὺς κατεῖχεν ὁ πρὸς Ἱππωνιάτας καὶ Μεδ-
μαίους πόλεμος, ὁμόρους τε ὄντας καὶ ἀποίκους.
καὶ ὁ μὲν Φαίαξ ἐς τὰς Ἀθήνας χρόνῳ ὕστερον
ἀφίκετο.

περὶ τὴν Ἀμφίπολιν Κλέων μὲν Γαληψὸν ἑλὼν ἐν Ἠιόνι αὐλίζεται, Βρασίδας δὲ ἐπὶ Κερδυλίῳ ἀντικαθήμενος παρασκευάζεται στρατόν.

6. Ὁ δὲ Κλέων ὡς ἀπὸ τῆς Τορώνης τότε 1
περιέπλευσεν ἐπὶ τὴν Ἀμφίπολιν, ὁρμώμενος ἐκ
τῆς Ἠιόνος Σταγίρῳ μὲν προσβάλλει Ἀνδρίων
ἀποικίᾳ καὶ οὐχ εἷλε, Γαληψὸν δὲ τὴν Θασίων
ἀποικίαν λαμβάνει κατὰ κράτος. καὶ πέμψας ὡς 2
Περδίκκαν πρέσβεις, ὅπως παραγένοιτο στρατιᾷ
κατὰ τὸ ξυμμαχικόν, καὶ ἐς τὴν Θρᾴκην ἄλλους

„Immo ἀποκομιξ." Bekk., τότε κομ. Meinek. in Herm. III p. 368. Cf. adn.

§ 3. Ἰτωνέας καὶ Μελαίους codd. Cf. adn.

Cap. 6. § 1. Σταγείρῳ codd. In veteribus titulis Atticis omnibus locis est Σταγιρῖται. Cf. indicem Inscript. Att. I s. v. Verae scripturae mentionem facit Herodian. II p. 449 κατὰ δὲ τὴν παράδοσιν διὰ τοῦ ῑ γράφεται.

Articulus nulla ratione potest defendi. Nam aliter comparata sunt exempla a Krueg. Gr. 50, 11 adn. 21 allata. Auctore Class. haec verba nunc a librario addita esse putamus, qui iis significare voluerit τούτοις non ad proximum Λοκρῶν referri, sed ad Locros Messana expulsos domum redeuntes. — ἐγεγένητο... Ἀθηναίοις, Locris enim cum ipso convenerat de compositione cum Atheniensibus facienda. Attende ὁμολογίας vocabulum, quod plerumque, ut § 1. IV 54, 3. 132, 1 al., idem valet atque ξύμβασις, hic ab eo nomine distingui ipsam actionem τοῦ ὁμολογεῖν sive pacis (ξυμβάσεως) condiciones inter Locros et Phaeacem convenisse significans. Iisdem verbis ὁμολογία ξυμβάσεως πέρι utitur scriptor quidam apud Suid. in vv. Δημήτριος ὁ Ἀντιγόνου. Similiter interdum ὁμολογίαι atque ξυνθῆκαι discernuntur.

§ 3. οὐδ᾽ ἂν τότε scil. ἐσπείσαντο. — Ἰτωνέας καὶ Μελαίους, qui in codd. sunt, nullos in Italia inferione invenimus. Neque enim huc referri potest ignota urbs Itone in Italia sita, quam Steph. Byz. memorat; nam ὁ πολίτης Ἰτώνιος. Quare recipienda erat Weidneri (Mus. Rhen. XIX p. 141) coniectura confirmata verbis Strab. p. 256 Ἱππώνιον Λοκρῶν κτίσμα . . . Μέδμα πόλις Λοκρῶν τῶν αὐτῶν et situ oppidorum.

Cap. 6. § 1. τότε respicit ad 3, 6. Cf. adn. 4, 4. — ὁρμώμενος. Cf. adn. I 64, 2. — Σταγίρῳ. Cf. IV 88, 2. — Γαληψόν. Cf. IV 107, 3.

§ 2. κατὰ τὸ ξυμμαχικόν. De vocabulo vid. adn. II

παρὰ Πολλῆν τῶν Ὀδομάντων βασιλέα, ἄξοντας μισθοῦ Θρᾷκας ὡς πλείστους, αὐτὸς ἡσύχαζε περι-
3 μένων ἐν τῇ Ἠιόνι. Βρασίδας δὲ πυνθανόμενος ταῦτα ἀντεκάθητο καὶ αὐτὸς ἐπὶ τῷ Κερδυλίῳ· ἔστι δὲ τὸ χωρίον τοῦτο Ἀργιλίων ἐπὶ μετεώρου πέραν τοῦ ποταμοῦ, οὐ πολὺ ἀπέχον τῆς Ἀμφιπόλεως, καὶ κατεφαίνετο πάντα αὐτόθεν, ὥστε οὐκ ἂν ἔλαθεν [αὐτόθεν] ὁρμώμενος ὁ Κλέων τῷ στρατῷ· ὅπερ προσεδέχετο ποιήσειν αὐτόν, ἐπὶ τὴν Ἀμφίπολιν ὑπεριδόντα σφῶν τὸ πλῆθος τῇ παρ-
4 ούσῃ στρατιᾷ ἀναβήσεσθαι. ἅμα δὲ καὶ παρ-

§ 2. Πολλῆν Aug. Ven. It. Bekk. M. marg. Vind. tacitusque Pal. apud Bekk., ut sit nomen contractum. Vulgo Πόλλην. Cass. Πολλ. abrasis ceteris. Cl. et Gr. Πολλήν. Laur. corr. Πόλλυν. Vind. et m. Πολῦν. E. Πολυν, accentum tacuit Gail. Mosqu. Πόλυν. Ex quibus Πόλτυν eruit Dind. in Steph. Thes. K. corr. Πόλιν. Πόλλιν coniecit Reisk. Deinde τόν pro vulg. τῶν Pal. M. deterioresque aliquot.

ἄξαντα Pal. M., reliquorum plurimi et optimi ἄξοντα. Cf. adn.

§ 3. αὐτόθεν om. C. D. I. Valla, et ex superioribus temere iteratum videtur. Nam si cum ἔλαθεν iungatur, supervacaneum esse, sin cum ὁρμώμενος participio, de alio loco intellegendum esse

22, 3, de re IV 132, 1. — Ὀδομάντων. Cf. II 102, 3 et ibi adn. — ἄξοντας. Non ipse rex Thraces adducturus erat (id enim si sua sponte facturus fuisset, non opus erat legatis ad eum mittendis), sed legati ut Perdiccae ex societate sic illi mercede persuasuri erant, ut copias mitteret. Quare nunc recepimus Linwoodii emendationem (Annal. phil. 1862 p. 200). — μισθοῦ. Cf. adn. IV 124, 4.

§ 3. ἀντεκάθητο καὶ αὐτός, et ipse contra hostes (s. castris hosti oppositis) considebat. Similiter IV 124, 2. Καὶ αὐτός ad solam considendi notionem, non simul ad verba ἐπὶ τῷ Κερδυλίῳ referuntur. „Et ipse Brasidas sedem cepit, ut Cleon (sedem ceperat), nempe ad Cerdylium.“ Bau. — Κερδυλίῳ. Proxime dextram Strymonis ripam in Arn. tab. Amphip. et Leak. Graec. sept. III p. 194, id quod verbis πέραν ... αὐτόθεν et 8, 1 narratis confirmatur. Cousineryo est vicus Kutschuk-Orschova Maced. I p. 132 sqq. „Coniunctio cum Amphipoli per eum pontem, qui IV 103 commemoratus est, efficiebatur.“ Bloomf., qui nihil nisi collem fuisse dicens proximis verbis ἔστι δὲ τὸ χωρίον ... ἐπὶ μετεώρου refellitur. — Ἀργιλίων. De his vid. IV 103. — πέραν τοῦ ποτ. Si ab Amphipoli proficiscimur, quam ad sinistram ripam Strymonis fuisse ex IV 103 constat. — ἐπὶ τὴν Ἀμφίπολιν ... ἀναβήσεσθαι. Ἐπὶ τὴν Ἀμφ. cohaerent cum ἀναβήσεσθαι, et de toto enuntiato epexegesin continenti cf. Matth. Gr. § 476. Krueg. Gr. § 57, 10 adn. 8. Kuehn. Gr. max. § 562, 2. Πλῆθος hic ἐπ' ὀλίγων dicitur, ut IV 10, 5, ubi cf. adn.

§ 4. παρεσκευάζετο obiecto caret ut II 11, 5. III 46, 2.

εσκευάζετο Θρᾷκάς τε μισθωτοὺς πεντακοσίους καὶ χιλίους καὶ τοὺς Ἠδῶνας πάντας παρακαλῶν, πελταστὰς καὶ ἱππέας· καὶ Μυρκινίων καὶ Χαλκιδέων χιλίους πελταστὰς εἶχε πρὸς τοῖς ἐν Ἀμφιπόλει. τὸ δ' ὁπλιτικὸν ξύμπαν ἠθροίσθη δισχίλιοι μάλιστα καὶ ἱππῆς Ἕλληνες τριακόσιοι. τούτων Βρασίδας μὲν ἔχων ἐπὶ Κερδυλίῳ ἐκάθητο ἐς πεντακοσίους καὶ χιλίους, οἱ δ' ἄλλοι ἐν Ἀμφιπόλει μετὰ Κλεαρίδου ἐτετάχατο.

πειτα Κλέων πρὸς τὴν Ἀμφίπολιν γει καὶ τὴν θέσιν αὐτῆς θεᾶται.

7. Ὁ δὲ Κλέων τέως μὲν ἡσύχαζεν, ἔπειτα 1
ἠναγκάσθη ποιῆσαι ὅπερ ὁ Βρασίδας προσεδέχετο.
τῶν γὰρ στρατιωτῶν ἀχθομένων μὲν τῇ ἕδρᾳ, ἀνα- 2
λογιζομένων δὲ τὴν ἐκείνου ἡγεμονίαν πρὸς οἵαν ἐμπειρίαν καὶ τόλμαν μετὰ οἵας ἀνεπιστημοσύνης καὶ μαλακίας γενήσοιτο καὶ οἴκοθεν ὡς ἄκοντες αὐτῷ ξυνεξῆλθον, αἰσθόμενος τὸν θροῦν, καὶ οὐ

quam prius αὐτόθεν, id quod tolerabile non sit, denique exiguo intervallo bis positum displicere recte docet Haas. Lucubr. Thuc. p. 99, qui probat αὐτόν, quod in Cam. et Gr. legitur.

§ 4. Ἠδῶνας Cl. Reg. Ar. Chr. Ald. Flor. Bas. Vulgo et Bekk. Ἤδωνας. Cf. ad. IV 102, 3.

Cap. 7. § 1. ποιῆσαι om. It., quod probat Herwerd. Stud. Thuc. p. 68. Sed ex ipso ποιῆσαι ad προσεδέχετο cogitandum est ποιήσειν. Cf. 6, 3.

§ 2. ξυνῆλθον codd. Cf. adn.

Nam Θρᾷκάς τε . . . καὶ τοὺς Ἠδῶνας ad solum παρακαλῶν pertinet. — Ἠδῶνας πάντας. Horum alii prope Amphipolim (cf. I 100, 3), alii in Acte (cf. IV 109, 4) habitabant. — Μυρκινίων. Hi omnium quidem Edonum numero videantur comprehendi, cum Myrcinus IV 107, 3 Edonica urbs appellata sit; sed ex iis, quae ibidem adiecta sunt, cur ab Edonibus hic separentur, intellegitur. Cf. paulo post adn.

§ 5. ἱππῆς Ἕλληνες, i. e. non Edonici. Hos Chalcidenses fuisse et Myrcinios (Myrcinus enim Thasiorum erat colonia. Cf. IV 107, 3) ex 10, 9 cognoscimus. — ἐτετάχατο. Cf. adn. III 13, 3.

Cap. 7. § 2. τῇ ἕδρᾳ] τῇ προσμονῇ, τῇ διατριβῇ καὶ τῇ ἀργίᾳ. Schol. — πρὸς οἵαν . . . μετὰ οἵας. Cf. Krueg. Gr. § 51, 14 adn. 1. Kuehn. Gr. max. § 587, 7. Monk. ad Eur. Alc. 146. — ξυνεξῆλθον rescripsit Dobr., cui propter ἐξῆλθε 8, 2 assentitur Haas. Lucubr. p. 99. Cf. L. Dindorf. praefat. ad Diod. III p. XI. Requiritur notio proficiscendi, non eundi. De collocatione ὡς particulae cf. adn. III 88, 3. IV 4, 1. — καὶ οὐ βουλόμενος, quanquam invitus. Cf. Hom. Od. II 110. Il. IV

βουλόμενος, αὐτοὺς διὰ τὸ ἐν τῷ αὐτῷ καθημέ-
3 νους βαρύνεσθαι ἀναλαβὼν ἦγε. καὶ ἐχρήσατο τῷ τρόπῳ ᾧπερ· καὶ ἐς τὴν Πύλον εὐτυχήσας ἐπίστευσέ τι φρονεῖν· ἐς μάχην μὲν γὰρ οὐδὲ ἤλπισέν οἱ ἐπεξιέναι οὐδένα, κατὰ θέαν δὲ μᾶλλον ἔφη ἀναβαίνειν τοῦ χωρίου, καὶ τὴν μείζω παρασκευὴν περιέμενεν, οὐχ ὡς τῷ ἀσφαλεῖ, ἢν ἀναγκάζηται, περισχήσων, ἀλλ' ὡς κύκλῳ περιστὰς
4 βίᾳ αἱρήσων τὴν πόλιν. ἐλθών τε καὶ καθίσας ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς Ἀμφιπόλεως τὸν στρατὸν αὐτὸς ἐθεᾶτο τὸ λιμνῶδες τοῦ Στρυμόνος καὶ τὴν θέσιν τῆς πόλεως [ἐπὶ τῇ Θρᾴκῃ] ὡς ἔχοι,

300. — αὐτούς iunge cum ἀναλαβὼν ἦγε. Hac obiecti collocatione efficitur, ut διὰ τὸ ... βαρύνεσθαι non ad βουλόμενος, sed ad ἀναλαβὼν ἦγε referre cogamur. — διὰ τὸ ... βαρύνεσθαι. Cf. IV 18, 4 διὰ τὸ μὴ τῷ ὀρθουμένῳ αὐτοῦ πιστεύοντες ἐπαίρεσθαι, IV 35, 1 διὰ τὸ ἀεὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι. Cf. adn. IV 63, 1. — ἀναλαβὼν ἦγε, assumptos ducebat, i. e. motis castris (copias Amphipolim versus) ducebat. Cf. de ἄγειν Matth. Gr. § 495, 1, ut de Lat. ducere Krueg. Gr. Lat. § 303 adn. 3, 1.

§ 3. τῷ τρόπῳ. Significetne hoc vocabulum hic rationem (*das Verfahren*) an ingenium et mores Cleonis, dubitant interpretes. Illud verum. Nam missa quiete similiter atque apud Pylum factum est (cf. IV 29, 2. 30) subsidia oppertus urbem vi capere volebat. — ἐς τὴν Πύλον, adversus Pylum vel respectu Pyli (cf. Eur. Or. 542). Significatur Sphacteriae expugnatio. Cf. V 14, 2. VII 71, 7. — ἐπίστευσέ τι φρονεῖν, aliquid se sapere fiduciam cepit. — κατὰ θέαν ... τοῦ χωρίου, ut situm loci viseret (specularetur). Redeunt verba κατὰ θέαν 9, 3. 10, 2. VI 31, 1. Cf. Matth. Gr. § 581b, ε'. — οὐχ ὡς τῷ ἀσφαλεῖ, ἢν ἀναγκάζηται, περισχήσων, non ut tuto praesidio (cf. VI 55, 3), si in necessitatem adduceretur, superior evaderet (cf. VIII 105, 1). Ad ἢν ἀναγκάζηται solent μάχεσθαι vel πολεμεῖν subaudire, quod unde adscisci possit haud in promptu est videre. Facilius est ex initio enuntiati ἐς μάχην repetere (cf. I 23, 6), sed cum hoc quoque molestius sit, nihil supplere praestat et verbum eadem ratione accipere qua usurpatum est VII 62, 4. Xen. Cyrop. II 4, 10. Hier. 9, 2. Praesidia Cleo oppertus est, non ut necessitate coactus iis uteretur, sed ut ultro vim inferret. Ita optime carebimus Herwerdeni coniectura, qui in Stud. Thuc. p. 68 ἀγωνίζεσθαι excidisse opinatus est. — κύκλῳ περιστάς, undique circumstans, i. e. urbem undique copiis circumdans et aggrediens.

§ 4. τε, igitur narrationem persequitur. Cf. I 12, 4. 13, 5. — τὸ λιμνῶδες τοῦ Στρυμόνος. Cf. adn. IV 108, 1. — ἐπὶ τῇ Θρᾴκῃ. „Haec quanquam in confiniis vel in vicinia Thraciae sonent, tamen

ἀπιέναι τε ἐνόμιζεν, ὁπόταν βούληται, ἀμαχεί· καὶ 5
γὰρ οὐδὲ ἐφαίνετο οὔτ' ἐπὶ τοῦ τείχους οὐδεὶς
οὔτε κατὰ πύλας ἐξῄει, κεκλῃμέναι τε ἦσαν πᾶσαι.
ὥστε καὶ μηχανὰς ὅτι οὐκ ἀνῆλθεν ἔχων, ἁμαρ-
τεῖν ἐδόκει· ἑλεῖν γὰρ ἂν τὴν πόλιν διὰ τὸ ἐρῆμον.

παρασκευαὶ Βρασίδου.

8. Ὁ δὲ Βρασίδας εὐθὺς ὡς εἶδε κινουμένους 1
τοὺς Ἀθηναίους, καταβὰς καὶ αὐτὸς ἀπὸ τοῦ
Κερδυλίου ἐσέρχεται ἐς τὴν Ἀμφίπολιν. καὶ ἐπ- 2

§ 5. οὐ κατῆλθεν plurimi et optimi codd., Gr. K. Ar. Chr. οὐκ ἀπῆλθεν. „Quo nihil proficias. Cum Eione, quae urbs in litore sita erat, Amphipolin et in collem quendam progrederetur Cleo, ἀνῆλθεν potius quam κατῆλθεν dicendum videtur. Cf. [supra 6, 3. 7, 3 et] 9, 3 ἀναβῆναι πρὸς τὸ χωρίον.“ Haack. Οὐκ ἀνῆλθεν iure etiam Bekker mavult. De vulgata cf. adn.

magis consentaneum est significare adversus Thraciam, seu Thraciae imminentem.“ Arn. Qui ideo scripturam ἐπὶ τὴν Θρᾴκην invitis membranis retineri cupiens sententiam hanc esse addit, Cleonem, cui Eione iter facienti situm Amphipolis in mare versus bene cognitum fuisse oporteat, tunc eius situm ad lacum et continentem sive, quibus verbis Thucydides expresserit, ad Thraciam versus contemplatum esse. Sed non iusta est haec oppositio, quoniam Amphipolis continentem versus non magis ἐπὶ τῇ Θρᾴκῃ sita est quam mare versus. Hofmanus sententiam hanc esse dicit: et cum urbs in confiniis Thraciae sita esset, quales hac parte belli commoditates afferret. Strymon autem tunc Thraces a Macedonia et Chalcidice disiungebat. Cf. II 97. 99. Sed de commoditatibus nihil dixit Th., neque quales hac parte cogitari possint commoditates facile cognoscitur. Non magis placet Classeni interpretatio: *im Verhältnisz zu der umliegenden thrakischen Landschaft.* Nam hanc vim ἐπί c. dat. non habet. Th. ipse vix aliud hic significasse potest quam universum Amphipolis situm, qualem IV 102, 4 descripsit. Itaque nunc ἐπὶ τῇ Θρᾴκῃ interpreti tribuimus.

§ 5. ἐφαίνετο οὔτ' ἐπὶ τοῦ τείχους. Ita orsus, ut si in altero membro novum verbum non additurus esset, posito ἐξῄει ordinem verborum institutum servavit, de qua synchysi cf. adn. III 96, 3. — οὐκ ἀνῆλθεν necessarium est, quod, cum Cleo in colle constitisset, quo descenderit cogitari omnino nequeat. Refertur autem ἀνῆλθεν eodem modo quo ἀναβαίνειν 6, 3. 7, 3. 9, 3 ad iter ab ora maris in interiorem terram factum. Μηχανάς, quo vocabulo hic scalae potissimum significantur (cf. adn. VI 102, 2) ob maximum pondus, quod habet, ab initio collocatum est (cf. adn. I 10, 2).

Cap. 8. § 1. ὁ δὲ Βρασίδας cet. „Brasidae ratio in hoc splendidi eius curriculi fine a Frontin. Strateg. I 5, 23 et Polyaen. I 38 [cuius narratio diversa est] bene describitur.“ Bloomf. — κινουμένους, *sich in Bewegung setzen.* Cf. 10, 5. Krueg. Gr. § 52, 6 adn. 1. — καταβὰς καὶ αὐτός. „Verba καὶ αὐτός non [necessario] significant Athenienses de aliquo loco descendisse, sed ad solam profectionem eorum (ὡς εἶδε κινου-

ἔξοδον μὲν καὶ ἀντίταξιν οὐκ ἐποιήσατο πρὸς τοὺς
Ἀθηναίους, δεδιὼς τὴν αὑτοῦ παρασκευὴν καὶ
νομίζων ὑποδεεστέρους εἶναι, οὐ τῷ πλήθει (ἀν-
τίπαλα γάρ πως ἦν), ἀλλὰ τῷ ἀξιώματι (τῶν γὰρ
Ἀθηναίων ὅπερ ἐστράτευε καθαρὸν ἐξῆλθε, καὶ
Λημνίων καὶ Ἰμβρίων τὸ κράτιστον), τέχνῃ δὲ
3 παρεσκευάζετο ἐπιθησόμενος. εἰ γὰρ δείξειε τοῖς
ἐναντίοις τό τε πλῆθος καὶ τὴν ὅπλισιν ἀναγκαίαν
οὖσαν τῶν μεθ' ἑαυτοῦ, οὐκ ἂν ἡγεῖτο μᾶλλον
περιγενέσθαι ἢ ἄνευ προόψεώς τε αὐτῶν καὶ μὴ
4 ἀπὸ τοῦ ὄντος καταφρονήσεως. ἀπολεξάμενος οὖν
αὐτὸς πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας καὶ τοὺς
ἄλλους Κλεαρίδᾳ προστάξας ἐβουλεύετο ἐπιχειρεῖν

Cap. 8. § 3. *δείξειε . . . ἑαυτοῦ*. Cass. Aug. Cl. Pal. It. Vat. M. *δείξοιεν*, (Gr. *δείξοιε*, H. *δείξοι*) et Aug. It. Vat. H. *ἑαυτῶν*. Qui plurales forsitan ita alicui probandi videantur, ut transitus factus sit a Brasida solo ad milites. Cf. sd. III 51, 4. Sed de militibus aptius *τὴν ἑαυτῶν* quam *τῶν μεθ' ἑαυτῶν* diceretur.

μένους τοὺς Ἀθην.) referuntur." Arn. Cf. paulo ante adn.

§ 2. *ὑποδεεστέρους εἶναι*] *τοὺς ἑαυτοῦ δηλονότι*. Schol. Haec notio ex collectivo *τὴν αὑτοῦ παρασκευήν* repetenda est. Cf. Matth. Gr. § 434, 2. Krueg. Gr. § 58, 4. adn. 1. Cum satis appareat de Brasidae militibus sermonem esse, nulla verborum est ambiguitas et Porti coniectura *ὑποδεέστερος* facile supersedemus. — *ἀντίπαλα . . . ἦν*. Scholiastes simul audit *ἑκάτερα τὰ στρατεύματα τῶν ἐναντίων*; sed *ἀντίπαλα* substantive dictum videtur. Cf. IV 117, 2. VII 13, 2 et ibi adn. — *τῷ ἀξιώματι*, dignitate. Brasidae milites magna ex parte Helotas et mercennarios fuisse ex IV 80 novimus. — *καθαρόν*, *οὐχὶ συγκλύδων οὐδὲ ἐπικούρων ἀλλ' αὐτῶν τῶν πολιτῶν*. Schol. Cf. *χρηστοῖς καταλόγοις ἐκκριθέντα* VI 31, 3. Atheniensium copias apud Amphipolim *ἐξ ἐπιλέκτων ἀνδρῶν* constitisse testatur etiam Athen. p. 215d.

§ 3. *ἀναγκαίαν*] *εὐτελῆ καὶ οὐκ ἐκ παρασκευῆς*. Schol. Ergo urgente necessitate factam, vix necessitati suffecturam, *nothdürftig*. Cf. VI 37, 2. — *ἢ ἄνευ προόψεώς τε αὐτῶν καὶ μὴ ἀπὸ τοῦ ὄντος καταφρονήσεως*, quam si non fuisset earum rerum (militum paucitatis et vilis armaturae) antea conspectus (Atheniensibus) neque eius quod revera esset (ipsis) contemptio. De *μὴ ἀπό* idem quod *ἄνευ* significante cf. adn. IV 130, 6, de vi condicionali *ἄνευ* praepositionis II 87, 4. VII 49, 2 et *μὴ ἀπό* locutionis *μὴ μεθ' ὑμῶν* VI 86, 3, de toto loco Symb. philol. Bonnens. p. 387 sq.

§ 4. *Κλεαρίδᾳ προστάξας*] *μετὰ Κλεαρίδου τάξας*. Schol. Est igitur *προστάσσειν* addere, committere. Cf. VI

αἰφνιδίως, πρὶν ἀπελθεῖν τοὺς Ἀθηναίους, οὐκ ἂν νομίζων αὐτοὺς ὁμοίως ἀπολαβεῖν αὖθις μεμονωμένους, εἰ τύχοι ἐλθοῦσα αὐτοῖς ἡ βοήθεια. ξυγκαλέσας δὲ τοὺς πάντας στρατιώτας καὶ βουλόμενος παραθαρσῦναί τε καὶ τὴν ἐπίνοιαν φράσαι ἔλεγε τοιάδε.

παρακέλευσις Βρασίδου.

9. „Ἄνδρες Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώ- 1
ρας ἥκομεν, ὅτι ἀεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας,
καὶ ὅτι Δωριῆς μέλλετε Ἴωσι μάχεσθαι, ὧν εἰώ-
θατε κρείσσους εἶναι, ἀρκείτω βραχέως δεδηλω-
μένον. τὴν δὲ ἐπιχείρησιν ᾧ τρόπῳ διανοοῦμαι 2
ποιεῖσθαι διδάξω, ἵνα μή τῳ τὸ κατ' ὀλίγον καὶ
μὴ ἅπαντας κινδυνεύειν ἐνδεὲς φαινόμενον ἀτολ-
μίαν παράσχῃ. τοὺς γὰρ ἐναντίους εἰκάζω κατα- 3
φρονήσει τε ἡμῶν καὶ οὐκ ἂν ἐλπίσαντας ὡς ἂν

Cap. 9. § 2. ὅτῳ τρόπῳ M. Cf. adn. μή τῷ τε It. Vat. Pal. Aug. M. Cass. Gr.; reliqui μὴ τό τε, nisi quod τε om. Ar. Chr. K., τὸ om. Vind. D. I. Cf. adn.

42, 1. — οὐκ ἂν . . . μεμονωμένους, quod existimaret illos non pariter (sociorum auxiliis) nudatos iterum a se interceptum iri. Cf. VI 49, 3. — ἡ βοήθεια. Cf. 6, 2.

Cap. 9. § 1. ὅτι . . . ἐλευθέρας explicandi causa ad ἀπὸ . . . ἥκομεν appositum est et concise dictum pro ὅτι ἀπὸ . . . ἐλευθέρας ἥκομεν. — ὧν . . . εἶναι. Cf. adn. I 124, 1 et interpr. Herodot. III 56. — ἀρκείτω . . . δεδηλωμένον. Participium proprie valet si declaratum est. Ceterum cf. Matth. Gr. § 555 adn. 2 et § 297 p. 757 atque verba Plauti satis sum semel deceptus Capt. III 5, 99. Infinitivo usus est in similibus verbis Ios. A. I. VII 1, 5 ἀλλὰ περὶ μὲν τούτων ἐν βραχέσιν ἀρκεῖ δεδηλῶσθαι.

§ 2. ᾧ. Cf. Kuehn. Gr. max. § 562, 4. VIII 50, 5 adn. I 136, 3. — ἵνα μή τῳ τὸ κατ' ὀλίγον κ. τ. λ. Optimorum librorum scriptura τῷ τε explicari nequit, nisi pro subiecto τὸ τὴν ἐπιχείρησιν ποιεῖσθαι ex superioribus repetamus et τέ transpositum esse statuamus, ita ut iungendum sit κατ' ὀλίγον τε καὶ μὴ ἅπαντας. Eadem τὲ . . καὶ iuncturae explicatio est, si recepta deteriore lectione τό τε proprium verbo παράσχῃ subiectum adiungimus. Sed quanquam similes notiones a Th. saepius hoc modo copulantur (cf. ad. IV 41, 2), nullam tamen apud eum huius iuncturae exstat exemplum, ubi eadem notio dupliciter et ipsa affirmanda et contraria neganda efferatur (cf. III 40, 3. IV 108, 5. V 60, 1. 86. VII 44, 6. 49, 2). Noluimus tamen cum paucis neque iis satis bonis libris τε omittere, quoniam sanae rationi convenientius est optimorum codd. lectionem leni mutatione emendare. Emendationem in priore huius libri editione propositam, nunc receptam comprobavit Class.

§ 3. καὶ οὐκ ἂν ἐλπίσαν-

ἐπεξέλθοι τις αὐτοῖς ἐς μάχην, ἀναβῆναί τε πρὸς τὸ χωρίον καὶ νῦν ἀτάκτως κατὰ θέαν τετραμ-
4 μένους ὀλιγωρεῖν. ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας τῶν ἐναντίων κάλλιστα ἰδὼν καὶ ἅμα πρὸς τὴν ἑαυτοῦ δύναμιν τὴν ἐπιχείρησιν ποιεῖται μὴ ἀπὸ τοῦ προφανοῦς μᾶλλον καὶ ἀντιπαραταχθέντος ἢ ἐκ τοῦ πρὸς τὸ παρὸν ξυμφέροντος, πλεῖστ' ἂν
5 ὀρθοῖτο· καὶ τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει ἃ τὸν πολέμιον μάλιστ' ἄν τις ἀπατήσας
6 τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν. ἕως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι καὶ τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος, ἐξ ὧν ἐμοὶ φαίνονται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς γνώμης καὶ πρὶν ξυνταθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ μὲν ἔχων

§ 6. ξυνταχθῆναι codd. Cf. adn.

τας ὡς . . . ἐς μάχην, et quod non videntur suspicati esse quenquam iis proditurum esse ad pugnam. Ita intellegendum est οὐκ ἂν ἐλπίσαντας, ut dictum sit pro ὅτι οὐκ ἂν ἤλπισαν (cf. Plat. Apol. 18c ἐν ᾗ ἂν μάλιστα ἐπιστεύσατε ibique Cron. et Kuehn. Gr. max. § 392a, 4); ἂν ἐπεξέλθοι autem vim futuri habet (cf. adn. III 38, 2). Ad ἐλπίσαντας ὡς cf. VIII 54, 1. — κατὰ θέαν. Cf. adn. 7, 3. De τραπέσθαι κατά τι cf. 10, 10. — ὀλιγωρεῖν, securos esse.

§ 4. κάλλιστα, optime, ut VI 33, 3. — καὶ ἅμα, *auch zugleich*. Cf. adn. III 61, 1. — πρὸς τὴν ἑαυτοῦ δύναμιν, pro viribus suis, i. e. rationem habens copiarum suarum, respiciens earum naturam. Cf. adn. III 37, 3. — μὴ ἀπὸ τοῦ . . . ἀντιπαραταχθέντος, non ex aperto magis et acie adversum instructa. Cf. de talibus formulis adn. I 35, 4.

§ 5. τὰ κλέμματα] τὰ στρατηγήματα. Schol. Latini quoque furta belli vocant. — ἃ . . . ἀπατήσας. Cf. Matth. Gr. § 421 adn. 3. Krueg. Gr. § 46, 5. § 51, 9 adn. 2. Non iteratio est hic ἂν particulae, ut I 36, 3. IV 114, 4, sed prius ἂν ad ἀπατήσας, alterum ad ὠφελήσειεν pertinet. Nempe non solum verbum quod dicitur finitum, sed etiam participium condicioni subiectum est. Sententia enim haec est: ea furta pulcherrimam laudem habent, quae si quis adhibeat hostem maxime fallat, amicis plurimum prosit. Cf. VI 18, 2. Xen. Cyr. I 3, 11. Sufficere tamen in talibus sententiis et potest et solet ἂν semel verbo primario additum. Similiter interpretanda erat altera parenthesis IV 18, 4.

